p. 525 b. *παράδειγμα ἄλλοις γίνεται.*

7 καὶ γὰρ αὕτη σωφρονίζεται πάσχουσα καὶ ταῖς βλεπούσαις παράδειγμα γίνεται, ἐπειδὴ καὶ ἄρχων δημοσίᾳ κολάζει, ἵνα οἱ ὁρῶντες σωφρονέστεροι γένωνται.

p. 525 d. *εἰ ἀληθῆ λέγει Πῶλος.*

8 ἰδοὺ πῶς ἀσφαλῶς, εἴπερ κατὰ Πῶλον ἄδικός ἐστιν, οὐκ εὐδαίμων ὁ τοιοῦτος, ἀλλὰ δώσει δίκας.

p. 526 a. *οὐδὲ μὴν κωλύει καὶ ἐν τούτοις ἀγαθούς.*

9 ἐπειδὴ κατεῖπεν τῶν δυναστῶν, ἤμελλέ τις λέγειν, ὅτι τί οὖν; οὐδεὶς ἐν δυναστείᾳ ὢν ἀγαθῶς πολιτεύεται; πρὸς τοῦτο οὖν φησιν· ὅτι ναί, οὐδὲν κωλύει καὶ δυνατοὺς ἄνδρας εὖ πολιτεύεσθαι καὶ δεῖ θαυμάζειν αὐτούς, ὦ Καλλίκλεις· θαυμαστὸν γὰρ τοῦ ἔχοντας ἐξουσίαν αὐτοὺς πολλὴν καταφρονῆσαι καὶ θείως πολιτεύσασθαι· καὶ γεγόνασιν οὖν καλοὶ ἄνδρες δυνάσται, καί εἰσι καὶ γενήσονται· οὕτως γοῦν καὶ παρὰ τοῖς Ἕλλησι γέγονεν δυνάστης καλὸς Ἀριστείδης ὁ Λυσιμάχου, καὶ ἰδού, ὅτι ἐπαινεῖ αὐτόν. οὐ μέντοι ὡς πολιτικὸν ἀλλ᾽ ὡς τῶν ἄλλων πλέον τι ἔχοντα· ὅτι δὲ καὶ αὐτὸς οὐκ ἦν εἰς ἄκρον πολιτικός, δῆλον ὅτι καὶ κακῶς ἔπαθεν, καὶ ὅτι ἡ κωμῳδία φησὶ περὶ αὐτοῦ, ὅτι ἐπὶ Ἀριστείδου οὐδὲν γέγονεν νεόττιον.

p. 526 b. *εἷς ἐλλόγιμος.*

10 ἐλλόγιμον καλεῖ οὐ κατὰ τὴν συνήθειαν τὸν πολλὰ εἰδότα, ἀλλὰ τὸν λόγου ἄξιον.

---

**20** mg. δίκαιον οὐδὲν οὐδαμοῦ νεόττιον

---

**1** παράδειγμα **M** Eusebius Theodoretus παραδείγματι codd. Plat. **BT** παραδείγματα cod. Plat. **F** ἄλλοις **M** cod. Plat. **F** Gellius Theodoretus Suidas τοῖς ἄλλοις codd. Plat. **BT** γίνεται **M** γίγνεσθαι codd. Plat. **3** δημοσίᾳ] -ι supr. lin. add. **M**[c] **8** οὐδὲ **M** οὐδὲν codd. Plat. **22** εἷς ἐλλόγιμος **M** εἷς δὲ καὶ πάνυ ἐλλόγιμος codd. Plat.